ὄμμασιν δεδορκὼς
Φοίβου παῖς, προλιποῦσ'
ἦλθεν ἕδρας σκοτίους
Ἅιδα τε πύλας·
δμαθέντας γὰρ ἀνίστη,
πρὶν αὐτὸν εἷλε Διόβολον
πλῆκτρον πυρὸς κεραυνίου.
νῦν δὲ τίν' ἔτι βίου
ἐλπίδα προσδέχωμαι;
ΧΟ. πάντα γὰρ ἤδη τετέλεσται βασιλεῦσι,
πάντων δὲ θεῶν ἐπὶ βωμοῖς
αἱμόρραντοι θυσίαι πλήρεις,
οὐδ' ἔστι κακῶν ἄκος οὐδέν.
ἀλλ' ἥδ' ὀπαδῶν ἐκ δόμων τις ἔρχεται
δακρυρροοῦσα, τίνα τύχην ἀκούσομαι;
πενθεῖν μέν, εἴ τι δεσπόταισι τυγχάνει,
συγγνωστόν· εἰ δ' ἔτ' ἐστὶν ἔμψυχος γυνὴ
εἴτ' οὖν ὄλωλεν εἰδέναι βουλοίμεθ' ἄν.

ΘΕΡΑΠΑΙΝΑ.

καὶ ζῶσαν εἰπεῖν καὶ θανοῦσαν ἔστι σοι.
ΧΟ. καὶ πῶς ἂν αὐτὸς κατθάνοι τε καὶ βλέποι;
ΘΕ. ἤδη προνωπής ἐστι καὶ ψυχορραγεῖ.
ΧΟ. ὦ τλῆμον, οἵας οἷος ὢν ἁμαρτάνεις.
ΘΕ. οὔπω τόδ' οἶδε δεσπότης, πρὶν ἂν πάθῃ.
ΧΟ. ἐλπὶς μὲν οὐκέτ' ἐστὶ σῴζεσθαι βίον;
ΘΕ. πεπρωμένη γὰρ ἡμέρα βιάζεται.
ΧΟ. οὔκουν ἐπ' αὐτῇ πράσσεται τὰ πρόσφορα;
ΘΕ. κόσμος γ' ἕτοιμος, ᾧ σφε συνθάψει πόσις.

---

123 ὄμμασιν Barnesius] ὄμμασι libri 125 σκοτίας *B* 126 ἄδα *S*] ἀΐδα *r* 129 πλᾶκτρον *Pl* (*l* in ras. vocab. scr.) 130 τίν' ἔτι βίου *B*] τίν' ἐπὶ βίου *a* τίνα βίου *S* βίου τίν' ἔτ' Hartungius 131 προσδέχωμαι Musgravius] προσδέχομαι libri 132 χο.] om. libri | verba τετέλεσται βασιλεῦσι corrupta | βασιλεῦσιν *La* 134 cf. Bekker. anecd. III p. 1308 135 οὐδ' *S*] ἀλλ' οὐδ' *r* 136 χορ. praef. *B* | ὀπαδῶν *S* (*Pl* ὀπαδός *L*)] ὀπαδῶν *r* 140 βουλοίμεθ' ἂν *La*] βουλοίμεθα *r* 141 om. *B* add. man. rec. 142 πῶς] πῶ *B* | αὐτὸς libri ὡὐτός Aldina | βλέποι *Lap*] βλέπει *B* βλέπ* *P* 144. 145 post 149 collocandos putat Henr. Mueller progr. gymn. Burg. 1876 p. 6
144 ὦ] ὢ *B* 145 πάθῃ *P*] πάθοι *r* 146 σώσασθαι *S*
148 οὔκουν Elmsleius] οὐκοῦν *BL* οὐκ οὖν *r* | αὐτοῖς *S*